τῇ ἐκ δύο ὀνομάτων :~

ριγ Ἡ ἀποτομὴ καὶ αἱ μετ' αὐτὴν ἄλογοι, οὔτε τῇ μέσῃ οὔτε
ἀπὸ τοῦ κε τοῦ ι ἀλλήλαις εἰσὶν αἱ αὐταί· τὸ μὲν γὰρ ἀπὸ μέσης παρὰ
ῥητὴν παραβαλλόμενον, πλάτος ποιεῖ ῥητὴν καὶ
ἀσύμμετρον τῇ παρ' ἣν παράκειται μήκει· τὸ δὲ ἀπὸ
ἀπὸ τοῦ ϙη ἀποτομῆς παρὰ ῥητὴν παραβαλλόμενον, πλάτος
ἀπὸ τοῦ ρ ποιεῖ ἀποτομὴν πρώτην· τὸ δὲ ἀπὸ μέσης
ἀποτομῆς πρώτης παρὰ ῥητὴν παραβαλλόμενον,
ἀπὸ τοῦ ρα πλάτος ποιεῖ ἀποτομὴν δευτέραν· τὸ δὲ ἀπὸ
μέσης ἀποτομῆς δευτέρας παρὰ ῥητὴν
παραβαλλόμενον, πλάτος ποιεῖ ἀποτομὴν τρίτην· τὸ δὲ
ἀπὸ τοῦ ρβ ἀπὸ ἐλάσσονος παρὰ ῥητὴν παραβαλλόμενον,
πλάτος ποιεῖ ἀποτομὴν τετάρτην· τὸ δὲ ἀπὸ
ἀπὸ τοῦ ργ τῆς μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσης παρὰ
ῥητὴν παραβαλλόμενον, πλάτος ποιεῖ
ἀπὸ τοῦ ρδ ἀποτομὴν πέμπτην· τὸ δὲ ἀπὸ τῆς μετὰ μέσου μέσον
τὸ ὅλον ποιούσης παρὰ ῥητὴν
παραβαλλόμενον, πλάτος ποιεῖ ἀποτομὴν ἕκτην· ἐπεὶ οὖν
τὰ εἰρημένα πλάτη διαφέρει τοῦ τε πρώτου καὶ
ἀλλήλων· τοῦ μὲν πρώτου, ὅτι ῥητή ἐστιν·
ἀλλήλων δὲ ὅτι τῇ τάξει οὐκ εἰσὶν αἱ αὐταί, δῆλον ὡς
ἀπὸ τοῦ ριγ καὶ αὐταὶ αἱ ἄλογοι διαφέρουσιν ἀλλήλων· καὶ ἐπεὶ
δέδεικται ἡ ἀποτομὴ οὐκ οὖσα ἡ αὐτὴ τῇ ἐκ
δύο ὀνομάτων· ποιοῦσι δὲ πλάτη παρὰ ῥητὴν
τὴν παραβαλλόμεναι μὲν μετὰ τὴν ἀποτομὴν
ἀποτομὰς ἀκολούθως ἑκάστη τῇ τάξει τῇ

καθ' αὐτήν· αἱ δὲ μετὰ τὴν ἐκ δύο ὀνομάτων, τὰς ἐκ δύο
ὀνομάτων καὶ αὐταὶ τῇ τάξει ἀκολούθως· ἕτεραι ἄρα
εἰσὶν αἱ μετὰ τὴν ἀποτομήν· καὶ ἕτεραι αἱ μετὰ τὴν ἐκ
δύο ὀνομάτων· ὡς εἶναι τῇ τάξει πάσας ἀλόγους ιγ·
μέσην· ἐκ δύο ὀνομάτων· ἐκ δύο μέσων πρώτην·
ἐκ δύο μέσων δευτέραν· μείζονα· ῥητὸν καὶ μέσον
δυναμένην· δύο μέσα δυναμένην· ἀποτομήν· μέσης
ἀποτομὴν πρώτην· μέσης ἀποτομὴν δευτέραν·
ἐλάσσονα· μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσαν·
μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσαν :~ Τὸ ἀπὸ
ρια ῥητῆς παρὰ τὴν ἐκ δύο ὀνομάτων
παραβαλλόμενον, πλάτος ποιεῖ ἀποτομήν· ἧς τὰ ὀνόματα
σύμμετρά ἐστι τοῖς τῆς ἐκ δύο ὀνομάτων ὀνόμασιν
καὶ ἔτι ἐν τῷ αὐτῷ λόγῳ· καὶ ἔτι ἡ γινομένη
ἀποτομὴ τὴν αὐτὴν ἕξει τάξιν τῇ ἐκ δύο ὀνομάτων·
ἔστω ῥητὴ μὲν ἡ Α· ἐκ δύο ὀνομάτων δὲ ἡ ΒΓ· ἧς
μεῖζον ὄνομα ἔστω ἡ ΔΓ· καὶ τῷ ἀπὸ τῆς Α ἴσον
ἔστω τὸ ὑπὸ τῶν ΒΓ, ΕΖ· λέγω ὅτι ἡ ΕΖ ἀποτομή
ἐστιν, ἧς τὰ ὀνόματα σύμμετρά ἐστι τοῖς ΓΔ, ΔΒ καὶ
ἐν τῷ αὐτῷ λόγῳ· καὶ ἔτι ἡ ΕΖ τὴν αὐτὴν ἕξει
τάξιν τῇ ΒΓ· ἔστω γὰρ πάλιν τῷ ἀπὸ τῆς Α ἴσον
τὸ ὑπὸ τῶν ΒΔ, Η· ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΒΓ, ΕΖ ἴσον
ἐστὶ τῷ ὑπὸ τῶν ΒΔ, Η· ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν
ΒΔ, οὕτως ἡ Η πρὸς τὴν ΕΖ· μείζων δὲ ἡ ΓΒ τῆς
ΒΔ· μείζων ἄρα ἐστὶ καὶ ἡ Η τῆς ΕΖ· ἔστω τῇ Η ἴση
ἡ ΕΘ· ἔστιν ἄρα ὡς ἡ ΓΒ πρὸς τὴν ΒΔ, οὕτως ἡ ΘΕ

